# 28 ΑΥΓΟΥΣΤΟΥ 2022

# † ΚΥΡΙΑΚΗ ΙΑ΄ ΜΑΤΘΑΙΟΥ

Μωϋσέως ὁσίου τοῦ Αἰθίοπος (δ΄ αἰ.). Διομήδους, Λαυρεντίου μαρτύρων, Ἐζεκίου βασιλέως τοῦ δικαίου (750 π.Χ.).

Ἦχος β΄. Ἑωθινὸν ια΄.

* * * * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ἄρχεται ὁ Ἀναγνώστης ἀναγινώσκων τὸν Προοιμιακὸν Ψαλμόν, λέγων οὕτω·

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### Ψαλμὸς ργ΄ (103).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλῦψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει· ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ

ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν. Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. ᾎσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα. Καὶ νῦν.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γʹ). Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Εἶτα, Συναπτὴ μεγάλη ὑπὸ τοῦ Διακόνου,
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

* * *

Μετὰ τὸν Προοιμιακὸν Ψαλμόν, καὶ τὸ πρῶτον Κάθισμα τοῦ Ψαλτηρίου, εἰς τό, Κύριε, ἐκέκραξα, ἱστῶμεν Στίχους ιʹ, καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα ζʹ, καὶ τοῦ Μηναίου Στιχηρά Προσόμοια γʹ.

# Ἦχος Δι


Δι
Κ υ υ υ ρι ε ε κε κρα α ξα προ ος σε ει
σα α α κου σο ο ο ο ον μȣ ει ει σα κȣ ȣ ȣ ȣ
σον μȣ Κυ υ υ ρι ι ι ι ε Κυ υ ρι ι ι
ε ε κε ε κρα α ξα α α προ ος σε ει σα α
α α κȣ ȣ σο ο ον μȣ προ ο ο σχες τη φω νη η
η η τη ης δε η σε ω ω ω ως μȣ εν τω κε κρα
γε ναι αι με ε ε προ ος σε ει σα κου σο ον μου
Κυ υ υ υ υ υ υ υ υ ρι ε
Δι
Κ α τευ θυν θη η η τω ω η η προ σευ χη η
η η η η μȣ ως θυ μι ι α α α α μα α ε ε
ε νω ω ω πι ι ο ο ον σȣ ε ε ε πα αρ
σι ις των χει ρω ω ω ων μȣ θυ σι ι α ε ε σπε
ρι ι νη ει σα κȣ σο ον μȣ Κυ υ υ υ υ υ
υ υ υ ρι ε

Ἡ Στιχολογία.




ω σει πα χος γης ερ ρα γη ε πι της γης δι ε σκορ πι σθη
τα ο στα αυ των πα ρα τον Α α α δην
Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι ο φθαλ μοι
οι οι μϋ ε πι σοι ηλ πι σα μη αν τα νε λης την ψυ
χη ην μϋ
Φ υ λα ξον με α πο πα γι δος ης συ νε στη σαν το
μοι και α πο σκαν δα λων των ερ γα ζο με νων την α
νο μι ι αν
Π ε σϋν ται εν α μφι βλη στρω αυ των οι α μαρ τω
λοι κα τα μο νας ει μι ε γω ε ως αν πα ρε ελ
θω
Φ ω νη μϋ προς Κυ ρι ον ε κε κρα ξα φω νη
μϋ προς Κυ ρι ον ε δε η θην
Ε κ χε ω ε νω πι ον αυ τϋ την δε η σι
ι ιν μϋ την θλι ψιν μϋ ε νω πι ον αυ τϋ α παγ
γε λω




Στιχηρὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου.

Στίχ. α΄. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι




Τον προ αι ω νων εκ Πα τρος γεν νη θεν τα τον Θε
ον Λο γον σαρ κω θεν τα εκ Παρ θε νου ου ου Μα ρι ι
ας δε ευ τε ε προ σκυ νη η η σω ω ω μεν
Σταυ ρον γα α αρ υ υ υ πο ο μει ει ει νας τη
τα φη πα ρε δο ο ο θη ως Αυ το ος η θε
ε λη η η σε και α να στα α ας ε
εκ νε ε ε κρων ε σω ω ω σε ε ε με τον πλα
νω ω ω ω ω με ε ε νον α α α α α α
α α αν θρω πον
Στίχ. β΄. Ἐμὲ ὑπομενοῦσι δίκαιοι ε ως ου α α αν
τα α α πο δω ως μοι
Χ ρι στος ο Σω ω ω τηρ η η μων το καθ η μων χει
ρο γρα φον προ ση λω ω σα ας τω Στα αυ ρω ω ω ω
ε ξη η η η λει ει ει ει ψε και του θα να του το κρα
α το ο ος κα τη ηρ γη η η σε προ σκυ νου ου
ου ου μεν α αυ του την τρι η η η η με ε ρον

ε ε ε ε ε ε ε ε ε γερ σιν

Στίχ. γ΄. Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε ει σα α α

κου σο ο ον τη η ησφω νη ης μου

Συν αρ χαγ γε λοις υ μνη σω ω μεν Χρι στου ου ου ου

την α να α α στα α α α σιν αυ τος γαρ λυ τρω

τη ης ε στι και σω τη ηρ των ψυ χω ω ων η

μων και εν δο ο ξη φο βε ε ρα και κρα ται

α α δυ να α α μει πα λι ι ιν ερ χε ε ται κρι

ναι κο ο ο ο ο σμο ον ον ε ε ε ε ε πλα σεν

Ἕτερα Στιχηρά, Ἀνατολικά.

Στίχ. δ΄. Γενηθήτω τά ὦτά σου προσέχοντα εις την φω

νη η ην της δε ε ε η η η σε ω ως μου

Σε τον σταυ ρω θεν τα και τα α φε ε εν τα Αγ γελος

ε κη ρυ υ υ ξε ε ε Δε σπο ο την και ε λε

γε ται αις γυ ναι αι ξι δευ τε ι δε τε ο που ε ε

κει ει το ο Κυ υ υ ρι ι ι ι ος α νε στη γαρ

Νη Δι

κα θως ει πεν ως πα αν το δυ υ ν α α α μος δι

ο σε ε ε προ ο ο σκυ νου ου μεν τον μο ο ο ο

νον α θα α α να α α α τον Ζω ο δο τα Χρι

στε ε λε ε η η σο ο ον η η η η μας

Στίχ. ε΄. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται

ο τι πα ρα σοι ο ι λα σμο ο ος ε

στιν

Δι

Ε ν τω σταυ ρω σου κα τηρ γη η σας την του ξυ υ λου

Νη

ου ου κα τα α ραν εν τη τα φη Σου ε νε ε κρω ω

Δι

σας του θα να α α του ου το κρα α α α τος εν

δε τη ε γερ σει ει σου ε φω τι σας το γε νο ο ος

τω ω ων α αν θρω ω ω πων δι α του το ο ο

σοι οι οι βο ω ω μεν ευ ερ γε τα Χρι στε ο

Θε ος η μω ων δο ο ο ξα α α α σοι

Στίχ. στ΄. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου

ηλ πι σεν η ψυ

χη μου ε πι τον Κυ υ υ ρι ον




Στίχ. ζ΄. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας



πι ξυ λου σταυ ρω θεις και εκ νε κρων α να α στας

και ων εν κολ ποις του Πα τρος ι λα σθη η τι ταις α

μα αρ τι ι ι αι αις η η η μων

Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου γ΄.

Οἱ Μάρτυρές σου Κύριε. Ἦχος πλ. δ΄ Νη

Στίχ. η΄. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ εκ πα σων των

α νο ο μι ων αυ τȣ

Μ ω σης ο πο λυ θρυ λη τος κοσ μȣ τερ πνο τη

τα λι πων εμ φρο νως πο νοις α σκη σε ως συ ντο νο

τα τοις πα θη υ πε τα ξε σαρ κος και κα τα βα

λων τον πο ο λυ μη χα νον νι κης τȣς στε φα

νȣς ε ε κο μι σα το αυ τȣ ταις ι κε σι ι αις

Κυ υ ρι ε πα σι δι δȣ το με γα ε ε λε ε ος

Στίχ. θ΄. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν,

παν τες οι λα οι

Ε γ κρα τει αν α συγ κρι τον στα σιν παν νυ χι ον




Στίχ. ι΄. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου







Τὸ Δογματικὸν Θεοτοκίον.






* * *

Εἴσοδος καὶ ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὴν ἐπιλύχνιον εὐχαριστίαν χῦμα·

Φῶς ἱλαρὸν ἁγίας δόξης, * ἀθανάτου Πατρός, * οὐρανίου, ἁγίου, μάκαρος, * Ἰησοῦ Χριστέ, * ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, * ἰδόντες φῶς ἑσπερινόν, * ὑμνοῦμεν Πατέρα, Υἱόν, * καὶ ἅγιον Πνεῦμα, Θεόν. * Ἄξιόν σε ἐν πᾶσι καιροῖς * ὑμνεῖσθαι φωναῖς αἰσίαις, * Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· * διὸ ὁ κόσμος σὲ δοξάζει.

Φῶς ἱλαρόν. Μέλος παλαιόν, ἐξήγησις Σίμωνος Ι. Καρᾶ.

Ἦχος Δι






Τὸ Προκείμενον τῆς ἡμέρας
Τῷ Σαββάτῳ ἑσπέρας.

Ἦχος Δι




Στιχ. Ἐνεδύσατο ὁ Κύριος δύναμιν, καὶ περιεζώσατο




Στιχ. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.




* * *

## Η ΕΚΤΕΝΗΣ ΔΕΗΣΙΣ

Εἶτα ὁ διάκονος (ἢ ὁ ἱερεὺς) τὴν ἐκτενῆ δέησιν, ὁ δὲ λαὸς εἰς ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον (τρίς).

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τοῦ ἁγίου ναοῦ τούτου (τῆς ἁγίας μονῆς ταύτης) καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

## ΤΑ ΠΛΗΡΩΤΙΚΑ

Εἶτα ὁ διάκονος λέγει τὰ Πληρωτικά, ὁ δὲ χορὸς ἀποκρίνεται εἰς μὲν τὰς δύο πρώτας δεήσεις διὰ τοῦ Κύριε, ἐλέησον, εἰς τὰς ἑπομένας ἓξ διὰ τοῦ Παράσχου, Κύριε, εἰς δὲ τὴν τελευταίαν διὰ τοῦ Σοί, Κύριε.

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ

χάριτι.
Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Ὁ ἱερεὺς ἐκφώνως·
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν· Εἰρήνη πᾶσι.
Ὁ χορός· Καὶ τῷ πνεύματί σου.
Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Ὁ χορός· Σοί, Κύριε.
Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας καὶ τὴν ἐκφώνησιν·
Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

* * *

Εἰς τὸν Στίχον. Ἀπόστιχα Στιχηρά.
Τὸ Ἀναστάσιμον.

Ἦχος Πα



το ι δι ι ον πλασμα παν το δυ να με Κυ υ ρι ε δο ξα

σοι

Ἕτερα Στιχηρὰ τοῦ Δαμασκηνοῦ,
ὧν ἡ ἀκροστιχὶς κατ᾽ ἀλφάβητον,
ἐν δὲ τοῖς Θεοτοκίοις, *Ἰωάννου Ἀμήν*,
τὸ δὲ Ἀμήν ἐστι μέσον τοῦ Ἀνύμφευτε Παρθένε.

Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν και πε ρι ι ε ζω σα το

Πα

Δ ι α ξυ λου Σω ω τηρ κα τηρ γη σας την του ξυ υ λου

κα τα ρα κρατος θα να α του τη τα φη η σου ε νε

κρω σας ε φω ω τι σας δε το γε νος η μω ων τη η

ε γερ σει σου δι ο βο ω μεν σοι ζω ο δο ο

τα Χρι στε ο Θε ο ος η μων δο ξα σοι

Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, η τις ου ου

σα α λευ θη σε ται

Πα

Ε ν τω σταυ ρω Χρι στε φα νεις κα θη λω με νος ηλ

λοι ω σας καλ λο ος κτι σμα των και το μεν α παν θρω

Δι Πα Πα

πον στρα τι ω ται δει κνυ με νοι λογ χη πλευ ρα αν σου ε

κεν τη σαν Ε βραι οι δε σφρα γι σαι τα α φον η τη σαν το

την σην ε ξου σι αν ουκ ε ε πι στα με νοι αλλ ο δι οι κτον

σπλαγ χνω σου κα τα α δε ξα με νος τα φην και τρι η η

με ρος α να στας Κυ υ ρι ε ε δο ξα σοι

Στίχ. γ΄. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εις μα κρο

ο τη η τα η με ρων

Ζ ω ο δο ο τα Χρι στε ε κου σι ως πα θος

υ πο στας δι α θνη τȣς εν Α δη δε κα α τελ θων ως δυ

να τος τους ε κει την ε λευ σιν με νον τας την σην α

φαρ πα σας ως εκ χει ρος κρα ται ου Πα ρα δει σον ανθ Α δου οι

κειν δε δω ρη σαι δι ο και η μι ιν τοις δο ξα ζου

σι την σην τρι η η με ε ρον ε γερ σιν δω ρη σαι ι λα

σμον α μαρ τι ων και το με γα ε λε ος

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἦχος Δι

Δ ο ο ο ξα Πα α α τρι ι ι και Υι υι ω και


Α γι ι ω Πνε ε ευ μα τι
Και νυ υ υ υν και α α ει και εις τους αι ω νας
των αι ω ω ωνων α α μην
Ω θαυ μα τος και αι νου πα α αν των των πα λαι
αι αι θαυ μα α των τις γαρ ε γνω μη η τε ε ε ρα
α α νευ α αν δρος τε ε ε το ο κυι υι υι αν και
εν αγ κα λαι αι αις φε ε ρου ου ου σαν τον
α πα σαν την κτι ι σι ιν πε ρι ε ε ε χο ο ο ον
τα Θε ου ε ε στι βου λη η το ο κυ υ η η
θε εν ον ως βρε φος Πα να α γνε σαις ω λε ε ε ε
ναις βα στα α α σα α α α σα και μη τρι κην παρ ρη
σι αν προς αυ το ο ον κε ε κτη με ε ε ε νη
μη παυ ση δυ σω ω που ου ου σα υ περ των σε ε ε τι
μω ων των του οι κτει ρη η η σαι και σω ω σαι
τας ψυ χα α ας η η η η μω ω ω ων

Μετὰ τὰ ἀπόστιχα λέγεται ὑπὸ τοῦ προεστῶτος ἢ τοῦ ἱερέως ἡ Ὠδὴ Συμεὼν τοῦ θεοδόχου. (Λουκ. β΄ 29-32)

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ ἀναγνώστης τὸ τρισάγιον.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

## Ἀπολυτίκια.

### Ἀπολυτίκιον Ἀναστάσιμον.

Ἦχος Δι






Δόξα. Καὶ νῦν. Θεοτοκίον.




* * *

## Η ΑΠΟΛΥΣΙΣ

Μετὰ τὰ ἀπολυτίκια, ἐὰν μὲν προηγήθη ἀρτοκλασία·

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν·

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ᾽ ὑμᾶς τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης)·

Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ τῇ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ἐὰν δὲ δὲν προηγήθη ἀρτοκλασία·

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης· Εὐλόγησον.
Ὁ ἱερεύς·
Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·
Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ (ἢ μονῇ) ταύτῃ εἰς αἰῶνας αἰώνων.
Ὁ ἱερεύς· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ὁ ἀναγνώστης· Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.
Ὁ ἱερεὺς· Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.
Ὁ ἀναγνώστης· Δόξα. Καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Πάτερ ἅγιε, εὐλόγησον.
Καὶ ὁ ἱερεὺς τὴν μεγάλην ἀπόλυσιν·
Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.
Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.
Ὁ λαός· Ἀμήν.

* * * * *